Καὶ τόκον πράττοιτο διδόναι μηδὲν ἀνθρώπων τόκον

Ἀλλ᾽ ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ᾽ εἰπόντας τοδί.

Ἀξία γοῦν εἶ τόκου τεκοῦσα τοιοῦτον τόκον.

A *Et fœnus exigeret, dare nullum hominum fœnus,*

*Sed auferre vi pecunias dicentes hoc,*

*Digna scilicet es fœnore, cùm pepereris talem fœtum.*

Bourdinus. Ἐν δίκῃ.] δικαίως φησίν, ἐστὶ ταύτην προτιμᾶν ἄλλων καὶ προκρίνειν, ἥπερ στρατηγὸν ἄνδρα καὶ ταξίαρχον ἔτεκεν. καὶ γάρ, ὥς φησιν ὁ Πλούταρχος ἐν τῷ τοῦ Πελοπίδου, οἱ τῶν Ἑλλήνων νομοθέται τὸν ῥίψασπιν κολάζουσιν οὐ τὸ ξίφος, οὐδὲ λόγχην προέμενον, διδάσκοντες ὅτι τοῦ μὴ κακῶς παθεῖν πρότερον τοῦ ποιῆσαι τοὺς πολεμίους, ἑκάστῳ μέλλειν προσήκει. Σκίροις.] σκίρα ἑορτὴ παρ᾽ Ἀθηναίοις, ἀφ᾽ ἧς καὶ ὁ μὴν σκιροφοριών. φασὶ δ᾽ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν, ὡς τὸ σκίρον σκιάδιόν ἐστι, μεθ᾽ οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἰς τινὰ τόπον καλούμενον σκίρον ἐπορεύοντο ἥτε Ἀθηνᾶς ἱερεία, καὶ ὁ τοῦ Ποσειδῶνος ἱερεύς, καὶ ὁ τοῦ ἡλίου. ἐκόμιζον δὲ τοῦτο τὸ σκίρον ἐτεοβουτάδαι. σύμβολον δὲ τοῦτο ἐγίγνετο τοῦ δεῖν οἰκοδομεῖν, ὡς τούτου χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ σκιράδα τιμῶσιν, οἱ Ἀθηναῖοι ἀπὸ σκίρου τινὸς ἐλευσινίου μαντέως κληθεῖσαν. ἦν δὲ καὶ σκίεις σκιάδειον, ἑορτή τις ἀγομένη τῇ Ἀθηνᾷ, ὅτε σκιαδείων ἐφρόντιζον, ἐν ἀκμῇ τοῦ καύματος. σκίρα δὲ καὶ τὰ σκιάδεια. Σκάφιον.] εἶδος κουρᾶς, ἐσήμαινεν δὴ τοῦτο εἶδος κουρᾶς αἰσχρόν τι καὶ φαῦλον ἀνάξιόν τε καὶ ῥυπαρόν. Εἰκός.] δίκαιον δὲ πῶς ἐστιν, πῶς δὲ ἄξιόν ἐστι ἐν ταυτῷ ἀριθμῷ τίθεσθαι τὴν μητέρα τοῦ Ὑπερβόλου αἰσχίστου καὶ πονηροτάτου, καὶ τὴν μητέρα τοῦ γενναιοτάτου πάντων Λαμάχου. Λευκά.] τοῦτο δὴ σημεῖον τῆς εὐγενείας καὶ καθαρότητος. Κόμας.] καθεῖσαν κόμας, δηλοῦσαν διὰ τούτου τὴν χαρὰν καὶ λαμπρότητα τινα. καὶ γὰρ ἡ κουρὰ παρὰ παλαιοῖς ἐσήμαινε πενθηρόν τι καὶ κλαυστικόν. Ὑπερβόλου] Ὑπέρβολος ἐστὶν ἦν ἔχθιστος θεοῖς καὶ ἀνθρώποις καὶ μιαρώτατος, καὶ διὰ τὴν αὐτοῦ μιαρίαν πονηρίαν τε διασυρθεὶς καὶ διαλοιδορηθεὶς ὑπὸ πάντων τῶν κωμικῶν. Λαμάχου.] ὃς γενναῖος στρατηγὸς ἦν καὶ μαχιμώτατος. πνέων τ᾽ ἀεί τι πολεμικόν, οὗπερ μέμνηται ὁ Θουκυδίδης ἐν τῷ ἕκτῳ βιβλίῳ τῆς ἱστορίας αὐτοῦ, καὶ θανάτου ἐκείνου Λαμάχου. διεβάλλετο δ᾽ ὁ Λάμαχος ἐπὶ μεγάλῃ θρασύτητι καὶ ἀπρεπεῖ τῷ φρονίμῳ στρατηγῷ. Δανείζειν.] ὥστε ἔνεργα ποιεῖν τὰ χρήματα. Τόκον.] ὃ δή ἐστιν ἔργον καὶ κέρδος τῶν χρημάτων. Εἰπόντας τοδί.] χλευαστικὸν ἔπος. Γοῦν.] καταγελαστικὸν καὶ εἰρωνευτικὸν ἐπίρρημα. τουτέστι σὺ ἀξία εἶ τοὺς τόκους εἰσπράττειν ὅταν τοιοῦτον τέκῃς ἄνδρα.

Bisetus. Ὑπερφυέστατον] ὑπερφυὲς κυρίως δηλοῖ τὸ ὑπὲρ τὴν φύσιν, εἴτε φυάν, ἤγουν φύσιν. ἀλλαχοῦ δέ, ὡς κἀνταῦθα, τὸ μέγιστον, ὃ τὸ τῆς φύσεως μέτρον, καὶ μέγεθος ὑπερβάλλει. ἁπλῶς τὸ μέγιστον. Ταξίαρχον.] ταξίαρχος, ἡγεμών, στρατοπεδάρχης. στρατηγοὶ δὲ B δέκα ἦσαν. οἱ καθ᾽ ἕκαστον ἔτος χειροτονούμενοι. Προεδρείαν] προεδρεία, τιμῆς ἐστὶν εἶδος ὁ τόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν παντὶ ἄλλῳ συλλόγῳ τοὺς προλαμβάνοντας μεταθέσθαι, ἢ ἐξεγείραντας αὐτούς, εἰς τὸν ἐκείνων καθίσαι τόπον. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. Σ. τὸ δὲ ταύτῃ, δηλονότι τῇ γυναικὶ χρηστὸν ἄνδρα τεκούσῃ τῇ πόλει. Θησείοισι, καὶ Σκίροις.] Θησεῖα, καὶ Σκῖρα, ἑορτῶν ὀνόματα παρὰ τοῖς Ἀθηναίοις. περὶ δὲ τῶν Θησείων ἐν Πλούτῳ διὰ πλειόνων εἴρηται. καὶ C περὶ τῶν Σκίρων ἐν ταῖς Ἐκκλησιαζούσαις. ἐν τισὶ δὲ τῶν ἀντιγράφων διεφθαρμένως Θηνίοισι γέγραπται, ὃ παντελῶς ἄγνωστον. Τριήραρχον] τριήρεις, πλοῖα πολεμικά· καὶ τριήραρχος, τριήρους ἄρχων. ὅθεν τριηραρχεῖν. καὶ τριηραρχία, λειτουργία παρ᾽ Ἀθηναίοις δαπανηρά. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐτρεπῆ. ἅπερ παρεσκεύαζεν ὁ εἰς τὴν λειτουργίαν ταύτην προβληθείς. Σ. κυβερνήτης δέ, ὁ τοῦ πλοίου ἡγεμών. Σ. Σκάφιον] κουρᾶς εἶδος, περὶ οὗ ἐν Ὄρνισιν εἴρηται. Τῷ γὰρ εἰκὸς ὦ πόλις.] ὁ τούτων νοῦς ὅδε. διὰ τί, τίνος χάριν ὦ πόλις εἰ- D κός ἐστι τὴν Ὑπερβόλου μητέρα ἠμφιεσμένην λευκὰς ἐσθῆτας, καὶ κόμαις καθειμένας κοσμηθεῖσαν καθῆσθαι πλησίον τῆς μητρὸς τοῦ Λαμάχου; ὁ γὰρ Ὑπέρβολος δειλός, καὶ πονηρός. ὁ δὲ Λάμαχος, πολεμικός, καὶ ἀνδρεῖος. Καὶ εἰκός ἐστι τὴν Ὑπερβόλου μητέρα δανείζειν χρήματα, ἦν μᾶλλον ἐχρῆν (εἴπερ τινὶ δανείσειε, καὶ τὸν τόκον ἐκπράττοι) πάντα ἀποβαλεῖν, καὶ μηδένα τῶν ἀνθρώπων εὑρίσκεσθαι, ὃς ταῦτα αὐτῇ δοίη, ἀλλ᾽ ἐχρῆν αὐτοὺς ταῦτα αὐτῆς ἀφαιρεῖσθαι βίᾳ, αὐτὴν οὕτω προσφωνοῦντας, Ἀξία γοῦν. καὶ τὰ ἑξῆς. τὸ δὲ τῆς φράσεως καινοπρεπὲς ἀσάφειαν ἐντίθησι E τίκτει, τοὺς δὲ τοῦ ποιητοῦ στίχους οὕτω γραπτέον.

Καὶ δανείζειν χρήμαθ᾽, ἣν χρῆν (κἂν δανείσειέν τινι,

Καὶ τόκον πράττοιτο) διδόναι μηδὲν ἀνθρώπων τόκον.

Ἀλλ᾽ ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ᾽, εἰπόντας τοδί,

Ἀξία γοῦν εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον.

τοῦτο δέ τινες οἴονται νοητέον εἰρωνικῶς. οἱ δὲ καταφατικῶς, καὶ μετὰ τοῦ ἀρνητικοῦ μορίου γράφοντες οὕτως, Ἀξία γ᾽ οὐκ εἶ, ἀντὶ τοῦ ἀξία γοῦν. ὅπερ ἴσως οὐκ ἀπίθανον. τόκος δὲ κυρίως ἡ γένεσις. μεταφορικῶς δὲ τὸ δάνεισμα. ἐνταῦθα δὲ τῇ λέ- F ξεως ἀμφιβόλῳ σημασίᾳ τῇ ἐν ἑνὶ στίχῳ διχῇ χρησάμενος παίζει.

## ΜΝΗΣΙΛΟΧΟΣ, ΓΥΝΗ.

## Mnesilochus, Mulier.

Bis. Στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. Μνησίλοχος φυλαχθεὶς ἐπὶ τῇ τοῦ Εὐριπίδου ἀπόντος μελλήσει δυσχεραίνων ταῦτα μεθ᾽ ἑαυτοῦ λέγει. Ἰλλὸς δέ, στρεβλός, στραβός, διεστραμμένος ἢ τυφλός. προσδοκῶν δέ, περιμένων, ἀναμένων, τὸν Εὐριπίδην δηλονότι. G τούτων δὲ ὁ νοῦς ὅδε, στρεβλὸς μονονοὺ γεγένημαι, ὄμματα δεῦρο, κἀκεῖσε διαστρεφόμενος, καὶ μάτην ἑκάστοτε περιβλέπων, εἴ ποθεν Εὐριπίδης ἔλθοι.

Μν. Ἰλλὸς γεγένημαι προσδοκῶν, ὁ δ᾽ οὐδέπω.

MN. Strabo factus sum, expectans Euripidem, hic verò nondum venit.